www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ

# ΚΑΛΛΙΝΙΚΟΥ

ΠΟΙΗΘΕΙΣΑ ΕΝ ΑΓΙΩ ΟΡΕΙ
ΥΠΟ
ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ
ΥΜΝΟΓΡΑΦΟΥ ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ

ΕΚΔΙΔΟΤΑΙ ΠΡΟΝΟΙΑ
ΤΟΥ ΘΕΟΦΙΛΕΣΤΑΤΟΥ ΕΠΙΣΚΟΠΟΥ
ΑΜΑΘΟΥΝΤΟΣ
ΚΑΛΛΙΝΙΚΟΥ

ΑΘΗΝΑΙ 1965

www.tezaurliturgic.ro

# ΠΡΟΛΕΓΟΜΕΝΑ

*Μετὰ πολλῆς χαρᾶς ἀνελάβομεν τὴν ἔκδοσιν τῆς ἀκολουθίας τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Καλλινίκου τοῦ ὁποίου ἡ μνήμη ἑορτάζεται τὴν 29ην Ἰουλίου καὶ τὴν ὁποίαν μετὰ πολλοῦ ζήλου συνέταξεν ὁ ἐν ἁγίῳ Ὄρει μονάζων δόκιμος τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας Ὑμνογράφος, ὅσιος ἐν μοναχοῖς Γεράσιμος Μικραγιαννανίτης.*

*Ὁ ἅγιος μάρτυς Καλλίνικος, εὐσεβὴς καὶ ἐνάρετος, κατὰ τὸν ἱερὸν Συναξαριστήν, ὑπῆρξε διδάσκαλος καὶ κήρυξ τοῦ εὐαγγελίου τοῦ Χριστοῦ εἰς τοὺς ἐθνικούς, δι᾽ ὃν λόγον καὶ κατεδιώχθη καὶ μαρτυρικὸν ὑπέστη θάνατον, ὁμολογήσας Χριστὸν καὶ πολλοὺς ἐπιστρέψας ἐκ πλάνης εἰς τὴν ἀληθῆ χριστιανικὴν πίστιν. Διὰ τὰς πρὸς τὴν χριστιανικὴν Ἐκκλησίαν προσφοράς του ταύτας δύναται νὰ ὀνομασθῇ Μεγαλομάρτυς καὶ πανηγυρικῶς νὰ ἑορτάζηται ἡ μνήμη του ὑπὸ τῶν τιμώντων ταύτην. Ἐκ τῆς σκέψεως ταύτης ὁρμώμενοι, προθύμως ἀνελάβομεν τὴν ἔκδοσιν τῆς ἀνὰ χεῖρας ἑορταστικῆς ἀκολουθίας, βέβαιοι ὄντες, ὅτι ἀναπληροῦμεν κενὸν διὰ τοὺς ἑορτάζοντας τὴν μνήμην τοῦ μάρτυρος.*

*Φαίνεται ὅτι καὶ εἰς τὸ παρελθὸν ἐπεχειρήθη σύνταξις ἀκολουθίας τοῦ ἁγίου, ἐκτὸς τῆς ἐν τῷ μηναίῳ εὑρισκομένης συντομωτέρας τοιαύτης, ἂν συμπεράνῃ κανεὶς ἐκ τῶν εἰς Παρισινοὺς καὶ τῆς Μεγίστης Λαύρας Κώδικας εὑρισκομένων λειψάνων ἀνεκδότου ἀκολουθίας.*

*Εἰς τὸ Ἁγιολόγιον τῆς ἁγίας μας Ἐκκλησίας πλέον τῶν τεσσάρων φέρονται μὲ τὸ ὄνομα Καλλίνικος ἅγιοι, ἐξ ὧν εἷς ἀναφέρεται ὡς Πατριάρχης Κωνσταντινουπόλεως (693–705) ἀποθανὼν εἰς φυλακὴν ὅπου ἐρρίφθη ὑπὸ τοῦ αὐτοκράτορος τοῦ Βυ-*

www.tezaurliturgic.ro

*ζαντίου Κωνσταντίνου τοῦ Ρινοτμήτου, ἐπεκράτησεν ὅμως τὴν μνήμην τοῦ μάρτυρος Καλλινίκου πανηγυρικῶς νὰ ἑορτάζουν, κατὰ τὴν 29ην Ἰουλίου, οἱ τιμῶντες ταύτην καὶ οἱ φέροντες τὸ ὄνομα τοῦ ἁγίου.*

*Παραδίδοντες τὴν ἱερὰν ἀκολουθίαν ταύτην εἰς τὴν εὐλάβειαν τῶν χριστιανῶν, εὐχόμεθα ὅπως ὁ Πανάγαθος Κύριος, διὰ πρεσβειῶν τοῦ ἁγίου Μάρτυρος Καλλινίκου, δίδῃ νίκας πρὸς πάντας εἰς τὸν κατὰ τῆς ἁμαρτίας ἀγῶνα.*

*Ἐν Ἱ. Μητροπόλει Κιτίου — Ἐν Λάρνακι, Αὔγουστος 1964*

† Ὁ Ἀμαθοῦντος ΚΑΛΛΙΝΙΚΟΣ

www.tezaurliturgic.ro

# ΙΟΥΛΙΟΥ ΚΘ΄

## Μνήμη τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος ΚΑΛΛΙΝΙΚΟΥ

## ΕΝ ΤΩ, ΜΙΚΡΩ, ΕΣΠΕΡΙΝΩ,

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια :
Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ἔλαμψας Καλλίνικε, ὥσπερ ἀστὴρ φαεινότατος, εὐσεβείας ταῖς λάμψεσι, καὶ σκότος διέλυσας, εἰδωλομανίας, ἀκτῖσι τῶν λόγων, καὶ μαρτυρίου τῷ φωτί, καὶ τῷ Σωτῆρι Χριστῷ ὡδήγησας, ἀνθρώπων πλήθη πάνσοφε, ὡς Ἀποστόλων ὁμόζηλος· διὰ τοῦτο τὴν μνήμην σου, ἑορτάζομεν σήμερον.

Ἤθεσι κοσμούμενος, θεοφιλέσι Καλλίνικε, καὶ ζωῆς καθαρότητι, ἄμεμπτος καὶ δίκαιος, καὶ πρᾶος ὡράθης, καὶ ἔμπλεως ζήλου, θεοσεβείας ἀληθῶς, καὶ λόγον θεῖον ἐκ τῶν χειλέων σου, ὡς γλυκασμὸν χρηστότητος, τοῖς ἐν τῇ πλάνῃ ἐπήγασας, καὶ τὸν δόλιον δράκοντα, τῇ ἀθλήσει σου ἔκτεινας.

Μάστιξι ξαινόμενος, τῆς δερματίνης νεκρώσεως, ἀπεβάλου τὸ ἔνδυμα, καὶ πόνοις ἀθλήσεως, χλαῖναν σωτηρίου, ἐξύφανας Μάρτυς, καὶ εὐφροσύνης ἀληθοῦς, χιτῶνα θεῖον καὶ πανυπέρλαμπρον, καὶ τοῦτον στολισάμενος, ὡς Ἀθλοφόρος ἀήττητος, τῷ Σωτῆρι Καλλίνικε, γηθοσύνως παρέστηκας.

www.tezaurliturgic.ro

Θεῖον ὡς θυμίαμα, καὶ ὡς θυσία εὐπρόσδεκτος, καὶ σεπτὸν ὁλοκαύτωμα, προσήχθης Καλλίνικε, τῷ Σωτῆρι, πυρὶ τῆς καμίνου, καταφλεχθεὶς καρτερικῶς, καὶ τὰ βραβεῖα τῶν παλαισμάτων σου, ἀπέλαβες γηθόμενος, ὑπὲρ ἡμῶν τὸν φιλάνθρωπον, ἱκετεύων ἑκάστοτε, τῶν τελούντων τὴν μνήμην σου.

Δόξα... Ἦχος β'

Τῆς ἀληθείας στοιχειωθεὶς τῇ πράξει, τῆς σωτηρίας τὴν τρίβον ὑπέδειξας, τοῖς πλανηθεῖσιν ὑπὸ τοῦ ὄφεως· τὴν ἐν Χριστῷ γὰρ ἐλευθερίαν κηρύττων, μαρτυρικοῖς καμάτοις ἐβεβαίωσας, καὶ εὐσεβείας ἄθλοις ἐπιστώσω, τῶν λόγων τὴν ἀσφάλειαν. Διὸ τὴν ἀξιέπαινον μνήμην σου, χαρμονικῶς τελοῦντες Καλλίνικε, πρέσβυν σε θερμότατον, πρὸς Χριστὸν προβαλλόμεθα, ὡς ἂν λιταῖς σου κομισώμεθα, εἰρήνην καὶ μέγα ἔλεος.

Καὶ νῦν... Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου...

Ἀπόστιχα

Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Κλήσει ὑποδηλῶν, τὴν ἐσομένην δόξαν, καλλίνικος ἐν πᾶσι, Καλλίνικε ὡράθης, λαμπρῶς ἀγωνισάμενος.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει...

Ζήλου συγκοινωνός, τῶν Ἀποστόλων ὤφθης, Καλλίνικε παμμάκαρ, καὶ μαρτυρίου πόνοις, ἠρίστευσας ὡς ἄσαρκος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ὕδωρ τῇ προσευχῇ, ἐκ πέτρας ἀναβλύσας, Καλλίνικε τρισμάκαρ, κατάρδευσον τὸν νοῦν μου, τοῖς νάμασι τῆς χάριτος.

www.tezaurliturgic.ro


Δόξα... Τριαδικόν.

Πάτερ σὺν τῷ Υἱῷ, καὶ Πνεύματι τῷ θείῳ, ὁμόδοξε Θεότης, λιταῖς τοῦ Καλλινίκου, ἐλέησον τοὺς δούλους σου.

Καὶ νῦν... Θεοτοκίον.

Τέτοκας ὑπὲρ νοῦν, τὸν πάντων βασιλέα, ἐκ Σοῦ σωματωθέντα, Ὑπεραγία Κόρη· ᾧ πρέσβευε σωθῆναί με.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸ Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στʹ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.

Ἦχος δʹ. Ὁ ἐξ ὑψίστου.

Τῶν Ἀποστόλων τὸν ζῆλον κεκτημένος, τὸν λόγον τῆς πίστεως, λαμπρῶς ἐκήρυξας, τοῖς ἐν ἀπάτῃ καθεύδουσι, τῆς ἀγνωσίας, βίου λαμπρότητι σεμνυνόμενος, Καλλίνικε ἔνδοξε τῶν Ἀθλητῶν καλλονή, καὶ φερωνύμως καλλίνικον, παρὰ Κυρίου, στέφος ἐδέξω ἀθλήσας ἄριστα· ὅθεν τὴν μνήμην τὴν ἁγίαν σου, γεγηθότες τελοῦντες βοῶμέν σοι. Καθικέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Τὸν ἐκ Παρθένου ἀφράστως σαρκωθέντα, Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ κόσμον σώσαντα, δι' εὐσπλαγχνίαν ἀνέκφραστον, ὁμολογήσας, Θεὸν τῶν ὅλων καὶ πάντων Κύριον, εἰδώλων διήλεγξας τὴν ματαιότητα, καὶ τῷ φωτὶ ἐσημείωσας, τῆς εὐσεβείας, τοὺς δεξαμένους τὸν θεῖον λόγον σου, καὶ ἐναθλήσας ὡς ἀσήμαντος, ἐδοξάσθης ἀξίως Καλλίνικε, ἱκετεύων ἀπαύστως, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὑποδησάμενος κρίσει τῇ ἀδίκῳ, κρηπῖδας Καλλίνικε, τὰς σιδηρᾶς ἀπηνῶς, τῶν ἐν αὐτοῖς ἥλων τέτρωσαι, ταῖς ὀξυτάταις, αἰχμαῖς τοὺς πόδας σου παναοίδιμε, ξεσμοὺς δὲ ὑπήνεγκας ὡς ἄλλου πάσχοντος, τὸ τῆς φθορᾶς καὶ νεκρώσεως, πάχος θεόφρον, ἀπολεγόμενος γνώμῃ κρείττονι, καὶ ὥσπερ θῦμα εὐωδέστατον, προσηνέχθης Χριστῷ τῷ Θεῷ ἡμῶν, τοῦ πυρὸς ὑπομείνας, ἀνενδότως τὴν κατάφλεξιν.

www.tezaurliturgic.ro


Προσόμοια ἕτερα. Ἦχος πλ. δ'. Ὢ τοῦ παραδόξου θαύματος!

Μάρτυς θεόφρον Καλλίνικε, ὑπὲρ τὸ ζῆν τὸ θανεῖν, εὐσεβῶς προελόμενος, τοῦ Χριστοῦ τὸν θάνατον, ἀληθῶς ἐξεικόνισας· ἀθανασίας ὅθεν ἐπέτυχες, καὶ ἀνεσπέρου μακαριότητος, ἔνθα τὰ τάγματα, τῶν Ἀγγέλων πέφυκε, καὶ Ἀθλητῶν, πάντων ἀγαλλόμενος, σκηνώσας ἔνδοξε.

Μάρτυς παμμάκαρ Καλλίνικε, πρὸς ἀοράτους ἐχθρούς, τὸν ἀόρατον Κύριον, συμμαχίαν ἄμαχον, κεκτημένος ἀνέστησας, ἀθανασίας μεγάλα τρόπαια, τὸν ἐξαλείφειν γῆν τε καὶ θάλασσαν, κατακαυχώμενον, τῇ πυγμῇ τῶν ἄθλων σου, καταβαλών, καὶ τοῖς τῶν αἱμάτων σου, ποντίσας ρεύμασι.

Τὸν τῆς εὐσεβείας πρόμαχον, καὶ καθαιρέτην ἐχθροῦ, καὶ Μαρτύρων συνόμιλον, καὶ ναὸν τοῦ Πνεύματος, τοῦ Ἁγίου γενόμενον, τὸν στρατιώτην τοῦ βασιλέως Χριστοῦ, τῶν ἰαμάτων τὸ ἀδαπάνητον, ὄντως θησαύρισμα, τῶν πιστῶν τὸ στήριγμα, τὸν θαυμαστόν, σήμερον Καλλίνικον, ὕμνοις τιμήσωμεν.

Δόξα... Ἦχος πλ. β'.

Σήμερον ἀνέτειλεν ἡμῖν, ἡ ἔνδοξος μνήμη τοῦ Ἀθλοφόρου Καλλινίκου, τοὺς εὐσεβεῖς συγκαλοῦσα, πρὸς εὐφροσύνην μυστικήν· δεῦτε οὖν, τῶν ἐν αὐτῇ καλῶν τρυφήσωμεν, ὁμοφώνως βοῶντες· χαίροις ὁ τὴν θεϊκὴν πανοπλίαν ἀναλαβών, καὶ τοῦ σκότους θριαμβεύσας τὸν ἄρχοντα· χαίροις ὁ τὸν καλὸν ἀνύσας ἀγῶνα, καὶ τοῖς οἰκείοις μέλεσι δοξάσας, τῆς δόξης τὸν Κύριον· χαίροις τῶν Μαρτύρων θεῖον ἐγκαλλώπισμα, καὶ τῶν πιστῶς τελούντων τὴν μνήμην σου, κάλλιστον γέρας. Ὑπὲρ ὧν ἱκέτευε, Χριστὸν τὸν μόνον φιλάνθρωπον.

www.tezaurliturgic.ro

Καὶ νῦν. Ὁ αὐτὸς

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε ; τίς μὴ ἀναμνήσει σου, τὸν ἀλόχευτον τόκον ; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς Μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύστως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. μ'. 9.

Τάδε λέγει Κύριος : Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν ; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἐν ὑμῖν θεὸς ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τὶς ἀποστρέψει αὐτό ; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ὑμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. γ'. 1.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ

www.tezaurliturgic.ro


δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

### Κεφ. ε'. 15.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κρίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργήν, εἰς ρομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ριφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συσκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

www.tezaurliturgic.ro

Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.

Ὡς τῆς σοφίας τρόφιμος, τοῦ Εὐαγγελίου τῆς χάριτος, τὸν λόγον ἐκήρυξας, Ἀθλοφόρε Καλλίνικε· τῶν γὰρ καλῶν ταῖς ἰδέαις, θεοφρόνως στοιχειωθείς, τὴν ψυχήν σου τέθεικας, ὑπὲρ τῆς τῶν πολλῶν σωτηρίας, τὸν Σωτῆρα μιμούμενος· καὶ Ἀποστολικὴν ἀνύσας πορείαν, σὺν τῷ Παύλῳ ἔκραζες, ἱερῶς ἀγωνιζόμενος. Τίς ἡμᾶς χωρίσει, τῆς ἀγάπης Χριστοῦ, τοῦ τὴν ἀσθένειαν ἡμῶν ἐνισχύοντος, τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Οὗ τῆς κακίας ῥῦσαι ἡμᾶς, τοὺς ἑορτάζοντας ἔνδοξε, τὴν ἁγίαν μνήμην σου.

Ἦχος β΄.

Στρατευθεὶς τῷ Βασιλεῖ τῶν αἰώνων, τοῦ φωτὸς ἐνδύσω τὰ ὅπλα, ἐν ἀνδρείᾳ ψυχῆς Καλλίνικε, καὶ φρονήσει θεόφρονι· τὴν ἀληθῆ γὰρ ποθήσας δόξαν, τῶν ἐπὶ γῆς τερπνῶν ἐπανέστης, σκύβαλα τὰ πάντα ἡγησάμενος· καὶ τοῦ ἐχθροῦ καταβαλὼν τὰς δυνάμεις, τῇ στερροτάτῃ ἀθλήσει σου, τῆς εὐσεβείας ὑπέδειξας, τὴν χάριν διαλάμπουσαν· διὸ τοὺς ἀγῶνάς σου, ὁ ἀθλοθέτης Χριστὸς ἐδόξασε.

Ἦχος γ΄.

Τοῦ μαρτυρίου διανύων τὴν τρίβον, τὸν ἐπιτηροῦντα τὸν πτέρναν ὡς γέγραπται, παλαμναῖον ὄφιν, τοῖς σταλαγμοῖς τῶν αἱμάτων σου, τοῖς ἐκ τῶν ποδῶν Καλλίνικε, ἀληθῶς ἀπετύφλωσας· σιδηραῖς γὰρ κρηπῖσι καθηλωθείς, ἀπροσκόπτως ἐβάδισας, τὴν στενὴν καὶ τεθλιμμένην ὁδόν, ὡς σταδιοδρόμος εὐσταλής· καὶ τὸν μέγιστον τελέσας ἀγῶνα, περιφανῆ ἦρας νίκην, καὶ ἀθλητικῷ στέφει δεδόξασαι, παρὰ Χριστοῦ τοῦ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ΄.

Τῆς εὐσεβείας τὸ κήρυγμα, ἐν οὐρανίῳ σοφίᾳ Καλλίνικε, τοῖς πεπλανημένοις κηρύξας, στόμα θεῖον πέφηνας, πολλοὺς ἀξίους Κυρίῳ ἐξ ἀναξίων ἐξαγαγών· καὶ πρὸς μαρτυρικοὺς ἀγῶ-

www.tezaurliturgic.ro



νας ἀποδυσάμενος, ἐν Χριστῷ ἠνδραγάθησας, τῶν ἀντικειμένων περιγενόμενος· καὶ ἐν θαύμασι μεγαλυνθείς, ὕδωρ ἐκ πέτρας ἔβλυσας, καὶ τοὺς διψῶντας ἐπότισας. Πότισον οὖν καὶ ἡμᾶς, τῆς ἀθανασίας τῷ ὕδατι δεόμεθα, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

Δόξα. Ἦχος πλ. α΄.

Τοῦ Ἁγίου Πνεύματος τὴν χάριν, ἐνδεδυμένος Καλλίνικε, φερωνύμως τὸν καλλίνικον ἀγῶνα, νομίμως ἠγωνίσω· κάλλει γὰρ θεουργικῷ, τῆς ἀληθοῦς εὐπρεπείας, πτερωθεὶς τὴν διάνοιαν, ἀρετῶν ταῖς καλλοναῖς, καὶ μαρτυρίου ταῖς ἀριστείαις, ἐπὶ γῆς διέπρεψας, Χριστὸν δοξάσας τῇ ἀθλήσει σου· διὸ τῆς ἀθανάτου δόξης ἠξίωσε, καὶ τὸ διάδημα τοῦ κάλλους τῆς ἀφθαρσίας, ἐκ χειρὸς Κυρίου εἴληφας, ὡς Ἀθλητὴς ἀκαταγώνιστος.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε...

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν Ἀθλητῶν καλλονή, τῶν Ἀποστόλων μιμητὴς καὶ ὁμόζηλος· κατ᾽ ἴχνος γὰρ τούτοις βαίνων, πόλεις διῆλθες πολλάς, καὶ τῆς εὐσεβείας τὸ μυστήριον, πανσόφως ἐκήρυξας, τοῖς ἐν σκότει καθεύδουσι, τῆς ἀγνωσίας, καὶ τῷ φέγγει τῶν λόγων σου τούτους ηὔγασας, ὡς ἀστὴρ θεαυγέστατος· ὅθεν καὶ ὑπερήθλησας, τῆς δόξης τοῦ Κτίσαντος, ὑπεριδὼν, πάντα πόνον, Μεγαλομάρτυς Καλλίνικε. Χριστὸν ἐκδυπώσει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει...

Κλῆσιν τὴν νικηφόρον πλουτῶν, δι᾽ ἔργων ταύτην ἀληθεύουσαν ἔδειξας, νικήσας ἐν τοῖς ἀγῶσι, τῇ συμμαχίᾳ Χριστοῦ, τὸν τοῦ σκότους Μάρτυς κοσμοκράτορα, καὶ νίκης διάδημα, καὶ τοῦ κάλλους τὴν ἔλλαμψιν, τοῦ ὑπὲρ λόγον, ὡς ὁπλίτης καλλίνικος, χαίρων ἔλαβες, ἐκ χειρὸς τοῦ Παντάνακτος· ὅθεν συνὼν ταῖς τά-

www.tezaurliturgic.ro

ξεσι, τῶν ἄνω Δυνάμεων, καὶ εὐκληρίας ἀφράστου, καταπολαύων Καλλίνικε, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Ἔνδον ἐν τῇ καρδίᾳ λαβών, τὸ πῦρ τὸ θεῖον Ἀθλοφόρε Καλλίνικε, ὃ ἦλθε βαλεῖν ὁ Λόγος, ἐν ταῖς ψυχαῖς τῶν πιστῶν, ἀληθείας τρόποις σεμνυνόμενος, ὡς ἄσαρκος ἔφερες, τῆς σαρκὸς τὰ ἐπίπονα, εἱρκτὰς καὶ ξέσεις, καὶ ποδῶν τὴν καθήλωσιν, δι᾽ ἧς ἤμβλυνας, τὴν ὁρμὴν τοῦ ἀλάστορος· ὅθεν ὡς ὁλοκαύτωμα, Χριστῷ προσενήνεξαι, ὡς ἀπτοήτως ἐρρίφθης, τῇ ἀναφθείσῃ καμίνῳ σοι. Καὶ νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ΄.

Φωστὴρ ὢν ἀειφανής, τῆς εὐσεβείας Καλλίνικε, τοῖς λόγοις διαλάμπεις, καὶ τοῖς ἄθλοις διαυγάζεις τὰ κρείττονα· ὅθεν ἐν ἀμφοτέροις εὐδοκιμῶν, τῶν δαιμόνων τὰ θράση, καὶ τῶν βασάνων τὰ ἄλγη, σκυβαλήσας παρέδραμες, καὶ τῷ Σωτῆρι παρέστης, χάριν ἡμῖν αἰτούμενος καὶ ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Τὰ οὐράνια ὑμνεῖ σε, Κεχαριτωμένη Μῆτερ ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν, τὴν ἀνεξιχνίαστόν σου γέννησιν· Θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος γ΄. Θείας πίστεως.

Κλῆσιν σύνδρομον, ἔχων τῷ βίῳ, νίκην, κάλλιστον, ἦρας ἐν ἄθλοις, φερωνύμως γεγονὼς ὃ προκέκλησαι· σὺ γὰρ καλῶς τὸν ἀγῶνά σου τελέσας, ὡς νικητὴς ἐδοξάσθης Καλλίνικε. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν...

Ἀπόλυσις.

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὡς αὔραν μυστικήν, τὴν τοῦ Πνεύματος χάριν, τοῦ θέρους τῇ ἀκμῇ, ἡ ἁγία σου μνήμη, ἐπέστη διαπνέουσα, τοῖς τιμῶσί σε Ἅγιε, καὶ δροσίζουσα, τῶν εὐσεβῶν τὰς καρδίας· ἣν γεραίροντες, τοὺς σοὺς καμάτους ὑμνοῦμεν, Καλλίνικε ἔνδοξε.

Θεοτοκίον.

Παράδεισος τερπνός, ζωῆς ἔχουσα ξύλον, ὡράθης ἀληθῶς, Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ σεσωμάτωται, ὁ Ὑπέρθεος Κύριος, οὗ τὰ στίγματα, ἐν τῇ σαρκὶ αὐτοῦ Κόρη, ὁ Καλλίνικος, ἔρωτι θείῳ βαστάσας, ἀνδρείως ἐνήθλησε.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος γ΄. Θείας πίστεως.

Φλόγα ἄϋλον, τοῦ Παρακλήτου, εἰσδεξάμενος, πυρσὸν ἐκφαίνεις, σωτηρίας τοῖς ἐν σκότει Καλλίνικε, καὶ τοῦ Σωτῆρος δοξάσας τὸ ὄνομα, διὰ πυρὸς τὸν ἀγῶνα ἐτέλεσας. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ταῖς κρηπῖσιν ἔνδοξε καθηλωμένος, τὴν ὁδὸν διέδραμες, τοῦ μαρτυρίου ἀνδρικῶς, καὶ σταλαγμοῖς τῶν αἱμάτων σου, τὸν παλαμναῖον ἐτύφλωσας δράκοντα.

www.tezaurliturgic.ro

Καὶ νῦν. Θεοτοκίον.

Εν ἀγκάλαις φέρουσα ὃν πρὸ αἰώνων, ὁ Πατὴρ ἐγέννησεν ἀρρεύστως τε καὶ ἀπαθῶς, βασιλικὸν ὤφθης ὄχημα, Θεογεννῆτορ τὸν Κτίστην βαστάζουσα.

Μετὰ τὸν Πολυέλαιον, Κάθισμα.

Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Εὐσεβείας τοῖς ἔργοις εὐδοκιμῶν, ἀσεβείας τὰ ἤθη ἀπομειῶν, γενναίως ἠγώνισαι, κατὰ τοῦ πολεμήτορος, καὶ θαυμαστὸς ἐν ἄθλοις, ἐδείχθης μακάριε· ὡς γὰρ Μωσῆς ἐκ πέτρας, πηγὴν βλύζεις ὕδατος· ὅθεν καὶ τὸ τέλος, ἐν πυρὶ δεδεγμένος, πρὸς φῶς ἐξεδήμησας, ἀφθαρσίας τὸ ἄδυτον, Ἀθλοφόρε Καλλίνικε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον.

Η πρὸ πάντων αἰώνων τῷ Ποιητῇ, ὁρισθεῖσα ὡς πάναγνος καὶ καλή, καὶ τοῦτον γεννήσασα, ἐξ ἀχράντων αἱμάτων σου, καὶ μετὰ τόκον πάλιν, ἁγνὴ διαμείνασα, Εὐλογημένη Κόρη, Παρθένε Πανάμωμε, κάθαρον τὸν νοῦν μου, τῶν παθῶν τῆς ἀχλύος, καὶ λάμπρυνον δέομαι, τὴν καρδίαν μου Ἄχραντε, ἀγλαΐᾳ, τῆς δόξης σου. Σὺ γάρ μου προστασία θερμή, καὶ τῇ θείᾳ ἀγωγῇ σου πέποιθα, ἵνα τύχω ἐλέους, καὶ θείας χρηστότητος.

Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ.

Στίχ. Πεφυτευμένος ἐν οἴκῳ Κυρίου...

Εὐαγγέλιον Μαρτυρικόν.

Ὁ Ν'. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

www.tezaurliturgic.ro


Ἰδιόμελον. Ἦχος πλ. β'.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Ἀθλοφόρε Καλλίνικε, τὸν καλὸν ἀγωνισάμενος ἀγῶνα, καὶ τῷ στρατολογήσαντι ἀρέσας, τῆς μεγαλοπρεποῦς δόξης ἠξίωσαι καὶ κατὰ μετοχὴν θείαν ἐθεώθης. Πρέσβευε δεόμεθα μακάριε, τῷ Ἀθλοθέτῃ Κυρίῳ, τυχεῖν καὶ ἡμᾶς, τῆς οὐρανίου μακαριότητος.

Σῶσον ὁ Θεός τὸν λαόν σου... καὶ οἱ κανόνες.

Ὁ κανὼν τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς. «Ἀθλητὰ Καλλίνικε τὴν ᾠδὴν δέχου εὐμενῶς».

Ὠδὴ α'. Ἦχος δ'. Ἅρματα Φαραώ.

Ἅρματι νοητῷ, ἐπιβὰς ὡς ἀληθῶς, τριστάτας ἐπόντισας, τοῦ νοητοῦ Αἰγυπτίου, ἐν τῇ τῶν αἱμάτων σου ἐρυθρᾷ, Μαρτύρων, κλέος Καλλίνικε.

Θείαν περιβολήν, ἐνδυσάμενος σοφέ, στολὴν τὴν ἐπίγειον, ἀπεξεδύσω παμμάκαρ, καὶ πρὸς τὸν ἀγῶνα ὥρμησας, καὶ τὸν ἐχθρὸν ἐθριάμβευσας.

Λύσας τοῦ ἐχθροῦ, πολυπλόκους μηχανάς, δεσμεῖς ἐν τοῖς ἄθλοις σου, καὶ ἀνενέργητον, τοῦτον, ἔρριψας εἰς γῆν Καλλίνικε, καὶ τοῖς ποσί σου συνέτριψας.

Θεοτοκίον.

Ἥν περ τῶν Προφητῶν, προώρακε χορός, ὡς πύλην οὐράνιον, καὶ βάτον ἀκατάφλεκτον, σὲ Παρθενομῆτορ Ἄχραντε, Θεὸν τεκοῦσαν ἔγνωμεν.

Καταβασία.

« Χοροί, Ἰσραήλ, ἀνίκμοις ποσί, πόντον Ἐρυθρόν, καὶ ὑγρὸν
» βυθὸν διελάσαντες, ἀναβάτας τριστάτας, ὁρῶντες ἐν αὐτῷ
» ὑποβρυχίους ἐν ἀγαλλιάσει ἔμελπον: Ἄσωμεν τῷ Θεῷ ἡμῶν,
» ὅτι δεδόξασται».

www.tezaurliturgic.ro

᾿Ωδὴ γ'. Ὁ στερεῶν βροντήν.

Τῇ τοῦ Χριστοῦ ἀγάπῃ τετρωμένος, ὁ Μάρτυς ἀνέκραζεν, ἐν τοῖς ἀγῶσιν ἐγκαρτερῶν : Εἰς ὀσμὴν δραμοῦμαι μύρων, ἀκολουθῶν τῷ πάθει, τῇ ἀθλήσει τῇ δι' αἵματος.

Ἀνεπιβούλευτος διετηρήθης, ἐκ τῶν βελῶν τοῦ ὄφεως· τὴν σὴν γὰρ πτέρναν ὁ σοφιστής, ἐν τοῖς ἥλοις διατρήσας, τὴν κεφαλὴν συντρίβεται, Καλλίνικε τοῖς ἄθλοις σου.

Καταταμὼν τῆς πλάνης τὰς ἀκάνθας, μαχαίρᾳ τῇ τοῦ Πνεύματος, τὴν τοῦ Χριστοῦ πίστιν ἀπλανῶς, ἐγεώργησας παμμάκαρ, εἰς ἑκατὸν τοὺς πόνους, προσάξας τῷ Δεσπότῃ σου.

Θεοτοκίον.

Ἀνερμηνεύτου τόκου καὶ λοχείας, σὺ μόνη μήτηρ γέγονας, ἐν τῇ νηδύϊ σου τὸν πρὸ σοῦ, συλλαβοῦσα Θεὸν Λόγον, καὶ γαλουχοῦσα Παρθένος, ὡς βρέφος τὸν προάναρχον.

Καταβασία.

«Τόκον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες, περιεζώσαντο » δύναμιν· διὰ τοῦτο ἐστερεώθη, ἐν Κυρίῳ ἡ καρδία μου».

Κάθισμα. Ἦχος γ'. Θείας Πίστεως.

Ζῆλον ἔνδοθεν, ἐν τῇ ψυχῇ σου, ἔχων ἔνδοξε, τοὺς ἀνομοῦντας, διακενῆς καρτερικῶς διήλεγξας· καὶ ὁμιλήσας βασάνοις διήνυσας, τὸν σὸν ἀγῶνα γενναίῳ φρονήματι. Μάρτυς Καλλίνικε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Θεία γέγονας, σκηνὴ τοῦ Λόγου, μόνη Πάναγνε, Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας ἐμὲ γοῦν γενόμενον, ρερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

www.tezaurliturgic.ro



'Ωδὴ δ'. Εἰσακήκοα ὁ Θεός.

Λελουμένος ἐν ταῖς ῥοαῖς, τῶν σῶν αἱμάτων παμμάκαρ ὤφθης, καθαρώτατος τῷ πνεύματι, καὶ εἰς λῆξιν ἔφθασας, τῶν 'Ασωμάτων Μάρτυς Καλλίνικε.

Λίθος ἔντιμος ἀληθῶς, ᾠκοδομήθης, τῇ 'Εκκλησίᾳ καὶ ναοὺς εἰδώλων ἔσεισας, καὶ εἰς γῆν κατέβαλες, τῇ ἀκλινεῖ ἐνστάσει τῶν ἄθλων σου.

Ἰοβόλους τὰς τῶν ἐχθρῶν, θωπείας ὄντως ἀπώσω Μάρτυς· ἐν τοῖς λόγοις δὲ τοῦ Πνεύματος, τὴν ψυχὴν ῥωννύμενος, κατὰ τῆς πλάνης ἔστησας τρόπαιον.

Θεοτοκίον.

Νῦν σε βάτον ἐν τῷ Σινᾷ προδιαγράφων Μωσῆς ὁ μέγας, ἀκατάφλεκτον ἑώρακε, τὸ πῦρ τῆς Θεότητος, ἐν τῇ νηδύϊ φέρουσαν Ἄχραντε.

Καταβασία.

« Εἰσακήκοα τὴν ἔνδοξον οἰκονομίαν σου Χριστὲ ὁ Θεός· ὅτι
» ἐτέχθης ἐκ τῆς Παρθένου, ἵνα ἐκ πλάνης ῥύσῃ τοὺς κραυ-
» γάζοντας. Δόξα τῇ δυνάμει σου Κύριε».

'Ωδὴ ε'. 'Ανάτειλόν μοι Κύριε.

Ἰλύϊ περιέπεσον, ἀνυποστάτῳ Κύριε, καὶ ἐν βυθῷ τῆς ἁμαρτίας τε, καὶ τῇ καταιγίδι τῶν δεινῶν μου πράξεων, ἐμπαγεὶς κραυγάζω σοι· Σὺ γενοῦ μοι βοηθός.

Κρηπῖσι καθηλούμενος, τοὺς πόδας Μάρτυς ἔψαλλες: 'Εν τῇ ὁδῷ τῶν μαρτυρίων σου, πλουσίως κατετέρφθην, ἀθλοθέτα Δέσποτα, ὑπομένων στίγματα, τῇ ἐλπίδι τῶν μισθῶν.

Ἐλαίῳ σῷ τὸν ἔλεον, καλῶς ἐμπορευσάμενος, τοῦ μαρτυρίου τὴν λαμπάδα σου, ἐφαίδρυνας παμμάκαρ· δι' ἧς ὅλος γέγονας, ἱερεῖον ἄμωμον, ὁλοκαύτωμα δεκτόν.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Τῶν Προφητῶν τὸ κήρυγμα, καὶ Ἀποστόλων καύχημα, καὶ τῶν Μαρτύρων ἐγκαλλώπισμα, ὑπάρχεις Θεοτόκε, Θεὸν φέρουσα, ὑπὲρ λόγον Πάναγνε, τὸν πρὸ αἰώνων ἐκ Πατρός.

Καταβασία.

«Ὁ τοῦ φωτὸς διατμήξας, τὸ πρωτόγονον χάος, ὡς ἐν φωτὶ » τὰ ἔργα ὑμνεῖ σε Χριστέ, τὸν Δημιουργόν, ἐν τῷ φωτί » σου τὰς ὁδοὺς ἡμῶν εὔθυνον».

Ὠδὴ στ'. Τῶν πταισμάτων τῇ ζάλῃ.

Ἡ τῆς ποίμνης σου μάνδρα ἀνεπίβατος, ἐκ τῶν θηρίων ἐτηρήθη τῶν αἱρέσεων· τῶν σῶν γὰρ ἄθλων ἔνδοξε, κατέχουσα τὴν στερρὰν βακτηρίαν τῶν λύκων ὤφθη διώκτρια.

Νὺξ ἠλάθη τῆς πλάνης τῇ ἀθλήσει σου, καὶ τὸ τῆς πίστεως κάλλος ἐξανέτειλεν, ἐν τῇ ὁμολογίᾳ σου πανένδοξε, τῆς Τριάδος ὁπλῖτα, ὡς ἥλιος ἐν τοῖς πέρασιν.

Ὡς τῆς πίστεως κήρυξ ἀκριβέστατος, τῷ ἀσεβοῦντι ἐβόας ἑτοιμότατα : Τί ἀπειλεῖς τῷ ἔχοντι ἀδάμαντος, τὴν ψυχὴν στερροτέραν ; τὰ βέλη γὰρ τῶν ἀθέων κοῦφα.

Θεοτοκίον.

Διαμένεις ἐκ τόκου ἀπειρόγαμος, ὡς πρὸ τόκου καὶ ἀνέπαφος· τὸ γὰρ ἐν σοὶ μυστήριον Θεόνυμφε, ὑπὲρ ἔννοιαν πᾶσαν καὶ πάντα λόγον γνωρίζεσαι.

Καταβασία.

«Ἐν τῷ θλίβεσθαί με, ἐβόησα πρὸς Κύριον, καὶ ἐπήκουσέ » μου ὁ Θεὸς τῆς σωτηρίας μου».

www.tezaurliturgic.ro



Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ταῖς ἐπομβρίαις τῶν ἐνθέων σου λόγων, τῆς ἀσεβείας κατασβέσας τὴν φλόγα, μαρτυρικοῖς διέλαμψας παλαίσμασι σοφέ· ὅθεν καὶ εἰσέδραμες, τῇ καμίνῳ προθύμως, ἐκβοῶν, Καλλίνικε, τῷ ἰσχὺν σοι διδόντι. Ἐν τῷ φωτί με ἴθυνον τῷ σῷ, τὸν ἐν πυρί σε, Χριστὲ μεγαλύναντα.

Ὁ Οἶκος.

Ἐκ τῆς Κιλίκων χώρας ὡς ῥόδον φυείς, καὶ Ἀποστολικοῦ ζήλου τὴν εὐωδίαν δεχθείς, Εὐαγγελικῷ κηρύγματι, τὴν δυσσεβῆ πλάνην διήλεγξας, καὶ τοὺς ἐν σκότει καὶ σκιᾷ τῆς ἀπάτης ηὔγασας, καὶ τῷ Τριαδικῷ φωτὶ προσενήνοχας· ὅθεν τῇ τυραννικῇ ἀπηνείᾳ ἀντιταξάμενος, μαστίγων καὶ ξεσμῶν τὸ ἄλγος ἤνεγκας, καὶ τοῖς κρηπῖσι τῶν ποδῶν τὴν πλάνην ἤμβλυνας· ἔνθεν ὁλοκαυτωθεὶς ὡς θῦμα ἐν πυρὶ Καλλίνικε, πρὸς τὸ ἀνέσπερον φῶς ἐξεδήμησας, ἀνυμνῶν Χριστὸν τὸν σὲ μεγαλύναντα.

Συναξάριον.

Τῇ κθ' τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Καλλινίκου.

Στίχ. Βληθεὶς ὁ Καλλίνικος ἐν τῇ καμίνῳ,
Τὸ νικοκαλλὲς εὗρε καὶ θεῖον στέφος.
Εἰκάδι ἀμφενάτῃ Καλλίνικον κατέδαψε.

Ὁ Μάρτυς Καλλίνικος κατήγετο ἀπὸ τὴν Κιλικίαν. Ἦτο πολὺ εὐσεβὴς καὶ ἐνάρετος. Ἀπὸ τῆς νεαρᾶς αὐτοῦ ἡλικίας ἠσχολεῖτο μὲ τὸ ἱεραποστολικὸν ἔργον πρὸς διάδοσιν τῆς χριστιανικῆς πίστεως καὶ ἀληθείας. Ἐπεδίδετο ἰδιαιτέρως εἰς τὴν ἀπόσπασιν ἀπὸ τῆς εἰδωλολατρίας ὅσον τὸ δυνατὸν περισσοτέρων ψυχῶν καὶ τὴν προσάρτησίν των εἰς τὸν Χριστιανισμόν. Κατηγορήθη διὰ τὸ ψυχοσωτήριον αὐτὸ ἔργο στὸν ἡγεμόνα Σακέρδωνα, συνελήφθη καὶ ὑπεβλήθη σὲ ποικιλώνυμα φρικτὰ βασανιστήρια. Προσδεθεὶς τέλος εἰς ἀφηνιασμένον ἵππον ἐσύρθη εἰς βραχώδεις δρόμους καὶ περιοχὲς καὶ κατετραυματίσθη. Τέλος ἡμιθανὴς ἐρρίφθη εἰς ἀνημμένην κάμινον ὅπου καὶ παρέδωσε τὴν ἁγίαν του ψυχὴν στὰ χέρια τοῦ Θεοῦ. Διὰ τοῦ τρόπου αὐτοῦ

www.tezaurliturgic.ro

ἐτελείωσε καὶ τὸ καλλίνικόν του μαρτύριον, ὁ πιστὸς καὶ ἀφωσιωμένος τοῦ Χριστοῦ στρατιώτης Καλλίνικος. Τὴν μνήμην του ἑορτάζει ἡ Ἐκκλησία μας σήμερον 29ην Ἰουλίου.

Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεός, καὶ πάντων σου τῶν ἁγίων, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Πῦρ φλέγον Ἄγγελος.

Ηδονῆς μοι πρόξενα τὰ τῶν κολάσεων ὑπάρχουσι φόβητρα· οὐ γὰρ πῦρ οὐ μάστιγες, τοῦ ἀληθοῦς ἐραστοῦ, Μάρτυς ἐβόα χωρίσει με.

Νευρούμενος ἔνδοξε, τῇ συμμαχίᾳ Χριστοῦ, εἰς γῆν τὸν ἀντίπαλον, ἐκπαλαίσας ἔρριψας, καὶ φερωνύμως ἐδείχθης, κατὰ τῶν τυράννων Καλλίνικος.

Διάβολον, ᾔσχυνας, Ἀγγέλους εὔφρανας, τοῖς ἄθλοις σου ἔνδοξε, καὶ Χριστῷ ἐκραύγαζες : Εὐλογητὸς εἶ ὁ μόνος, ὑπάρχων Θεὸς τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ελυσας τῷ τόκῳ σου, Παρθένε Ἄχραντε, Εὔας τῆς Προμήτορος, τὴν ἀράν· ὑπάρχεις γάρ, Μήτηρ τοῦ πάντων Δεσπότου, τοῖς πᾶσι χαρὰν προξενήσασα.

Καταβασία.

« Αβραμιαῖοι ποτέ, ἐν Βαβυλῶνι Παῖδες, καμίνου φλόγα
» κατεπάτησαν, ἐν ὕμνοις κραυγάζοντες· Ὁ τῶν Πατέρων
» Θεὸς εὐλογητὸς εἶ».

Ὠδὴ η'. Τὰ σύμπαντα Δέσποτα.

Χαίροις ἐντρύφημα, τῶν Ἀθλητῶν τῆς ἀληθείας· χαίροις τὸ καλλώπισμα, τῆς πίστεως καὶ κλέος· χαίροις ὁ λαμπρότατος τῶν Μαρτύρων φωσφόρος, ὁ τὴν πλάνην σκεδάσας τῇ ἀθλήσει σου, καὶ τὸ φῶς τῷ κόσμῳ Καλλίνικε πάνσοφε.

Ὁ τύραννος ᾐσχύνθη, τῇ τῶν ἀγώνων σου ἐνστάσει· ἡττήθησαν δήμιοι, τοῖς μώλωψί σου μάκαρ· τοῖς ἥλοις τῆς πτέρνης σου κατετρώθη ἡ πλάνη· κατεφλέχθη δὲ πάντα καὶ ἠφάνισται, τῶν εἰδώλων τεμένη, πυρὶ ἐναθλοῦντός σου.

Ὑπὲρ τῶν τιμώντων σε, τῇ πρὸς Θεόν σου παρρησίᾳ, Καλλίνικε χρώμενος, ἱκέτευε ἀπαύστως, τῆς ποίμνης σου πρόστηθι, ἐξαιρούμενος ταύτην, τῶν ποικίλων παγίδων τοῦ ἀλάστορος, καὶ στηρίζων τῇ πίστει· ἐν σοὶ γὰρ αὐχεῖ καὶ κρατύνεται.

Θεοτοκίον.

Ἐν Πνεύματι Προφῆται, σὲ τὴν Παρθένον προτυποῦσι, σκηνήν τε καὶ τράπεζαν, καὶ στάμνον καὶ λυχνίαν, καὶ ὄρος πανάγιον, καὶ νεφέλην καὶ πλάκα, κιβωτόν τε καὶ ῥάβδον, πύλην ἔνθεον· δι' ἧς πᾶσιν ἀνθρώποις, ἠνοίχθη ὁ πάλαι Παράδεισος.

Καταβασία.

«Οἱ ἐν Βαβυλῶνι Παῖδες, τῷ θείῳ πυρπολούμενοι ζήλῳ,
» τυράννου καὶ φλογός, ἀπειλὴν ἀνδρείως κατεπάτησαν, καὶ
» μέσον πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον. Εὐλογεῖτε,
» πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον».

Ὠδὴ θ΄. Τὸν ἄσπορον τόκον σου.

Ὑφάνθη σοι ἄνωθεν, ὁ χιτὼν τῆς πίστεως, δι' οὗ ἀπεγύμνωσε τὸν ἐχθρόν, ἐν σταδίῳ Μάρτυς ἔνδοξε.

Μεμηνὼς ὁ τύραννος, ὑποκλύειν ᾤετο, θωπείαις τὸν Μάρτυρα· ἀλλ' αὐτὸς τῇ πίστει ἐστερέωτο.

Εὐθὲς ὁλοκαύτωμα, καὶ δεκτὸν θυμίαμα, Καλλίνικε, ἔνδοξε, τῷ πυρὶ τῶν ἀγώνων προσηνέχθης Θεῷ.

Ὡραῖοι οἱ πόδες σου, Ἀθλητὰ Καλλίνικε, τοῖς ἥλοις πειρώμενοι, καὶ πρὸς κήρυγμα θεῖον πορευόμενοι.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Σκέπην σε κεκτήμεθα, καὶ λιμένα Πάναγνε, καὶ ὅπλον καὶ ἄγκυραν, καὶ βεβαίαν ἐλπίδα ἐν κινδύνοις ἀεί.

Καταβασία.

«Ὁ τόκος σου ἄφθορος ἐδείχθη· Θεὸς ἐκ λαγόνων σου προ- » ῆλθε, σαρκοφόρος ὃς ὤφθη ἐπὶ γῆς, καὶ τοῖς ἀνθρώποις » συναναστράφη· σὲ Θεοτόκε, διὸ πάντες μεγαλύνομεν».

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ταῖς τῶν ποδῶν σου τρώσεσι, τὸν ὄφιν ἀπετύφλωσας καὶ τοῖς ξεσμοῖς ἐνεδύσω, δικαιοσύνης τὴν βύσσον, πυρὸς τῇ καταφλέξει δέ, ὡς ὕλην εὐκατάπρηστον, Καλλίνικε κατέφλεξας, τὴν τῶν εἰδώλων ἀπάτην· διὸ σὲ πάντες τιμῶμεν.

Θεοτοκίον.

Ἐκ σοῦ ἀναλαβόμενος, Θεὸς ἡμῶν τὸ φύραμα, διπλοῦς Παρθένε προῆλθεν, ἐν ὑποστάσει μιᾷ δέ, διπλῆν καὶ τὴν ἐνέργειαν, καὶ θέλησιν δεικνύμενος, καὶ Θεὸς ὃ ἦν μείνας, φθορᾶς λυτροῦται τὸν κόσμον, καὶ τὸν Ἀδὰμ ἀναπλάττει.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τὴν τοῦ πτωχεύσαντος δόξαν πλούτῳ χρηστότητος, Χριστοῦ τοῦ Ζωοδότου, καὶ πλουτήσαντος κόσμον, ζωὴν καὶ ἀφθαρσίαν κηρύξας σοφῶς, Ἀθλοφόρε Καλλίνικε, περιφανῆ ἦρας νίκην, καὶ εὐκλεῆ, ἀληθῶς κατὰ τοῦ ὄφεως.

Τῶν σπαραγμῶν ἀφειδήσας μαρτυρικῶς τῆς σαρκὸς τῶν σιδηρῶν κρηπίδων, ἐν ποσί σου τὰς τρώσεις, ὑπέστης Ἀθλοφόρε καὶ τὸν ἐχθρόν, τὸν τὴν πτέρναν ὡς γέγραπται, ἐπιτηροῦντα ἐπάτησας ἀνδρικῶς, καὶ ζωῆς θείας ἠξίωσαι.

www.tezaurliturgic.ro



Μαρτυρικαῖς ἀριστείαις καλλωπιζόμενος, τῇ πρὸς Χριστὸν εὐχῇ σου, πηγὴν ὕδατος βλύζεις, ἐκ πέτρας τῆς ἀνίκμου καὶ δαψιλῶς, τοὺς διψῶντας ἐπότισας· διὸ ὑμνοῦμεν Καλλίνικε θαυμαστέ, τὰ λαμπρά σου κατορθώματα.

Τοὺς ἐν καμίνῳ ζηλώσας τρεῖς Παῖδας Ἅγιε, τὴν ἀναφθεῖσαν φλόγα, εἰσέδραμες ἀνδρείως, ἐκεῖθεν, πρὸς ἀΰλους διαμονάς, καὶ πρὸς φῶς τὸ Τρισήλιον, τροπαιοφόρος ἀνῆλθες ὑπὲρ ἡμῶν, δυσωπῶν Χριστὸν Καλλίνικε.

Δόξα. Ἦχος δ'.

Ἀσματικοῖς ἐγκωμίοις ἑορτάζομεν, τὴν πανευκλεῆ σου μνήμην, Ἀθλοφόρε Χριστοῦ, Καλλίνικε ἔνδοξε· σὺ γὰρ τῷ Σωτῆρι ἀκολουθήσας, τὴν τελειοτάτην πρὸς αὐτὸν ἀγάπην, τοῖς ὑπὲρ τῆς ἀληθείας σκάμμασι, καὶ τῷ μαρτυρικῷ σου τέλει, ὑπέδειξας ἅπασι. Διὸ ὁ πάντων εὐεργέτης, ἀμειβόμενός σε πλουσίως, δωρεῖται διὰ σοῦ, εἰρήνην ἡμῖν καὶ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε Θεοτόκε Παρθένε, ἵνα σὲ δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ ᾠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τῇ β΄ Σεπτεμβρίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

### Μεγαλυνάριον

Ἄνθραξι τῶν λόγων σου τῶν σοφῶν, ὕλην ἀσεβείας, καταφλέξας ἀθλητικῶς, ὡς τερπνὴ θυσία· διὰ πυρὸς προσήχθης, Καλλίνικε παμμάκαρ, τῷ ἀθλοθέτῃ σου.

### Δίστιχον

*Κάλλους νοητοῦ ἀξίωσόν με Μάρτυς*
*Καλλίνικε Γεράσιμον σὲ ὑμνοῦντα.*